**0345-0407 - Iohannes Chrysostomus - In illud Homo quidam descendebat**

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright. On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site. Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality, serial number '2062 309 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances. Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

[00001] In illud: Homo quidam descendebatà

[00002] Εἰς τὴν τοῦ κατὰ Λουκᾶν Εὐαγγελίου παραβολὴν λέγουσαν, Ἄνθρωπός τις κατέβαινε, καὶ λησταῖς περιέπεσεν.

61.755

[00003] Ὄντως, κατὰ τὸν θεῖον ἀπόστολον, Οἱ ἐν σταδίῳ τρέχοντες, πάντες μὲν τρέχουσιν, εἷς δὲ λαμβάνει τὸ βραβεῖον.

[00004] Ἔδραμε σήμερον ὁ ἱερεὺς, ἔδραμε καὶ Λευίτης, καὶ ὁ Σαμαρείτης μόνος ἔλαβε τὸ βραβεῖον.

[00005] Τοὺς γὰρ πρὸ αὐτοῦ ἐλθόντας καὶ δραμόντας ἀκόπως δραμὼν παρεπήδησεν·

[00006] ἃ γὰρ οἱ νομομαθεῖς οὐκ ἐποίησαν, ταῦτα κατώρθωσεν ὁ ἀλλόφυλος.

[00007] Οἱ μὲν γὰρ ἰδόντες ἐν ἑτέρῳ τὴν οἰκείαν κινδυνεύουσαν φύσιν, τὰ σπλάγχνα ἀπέκλεισαν τῆς συμπαθείας, καὶ τοὺς ὀφθαλμοὺς καμμύσαντες, ὡς στήλην νεκρὰν τὸν κείμενον ὑπερέβησαν, ὡς καί ποτε ὁ πλούσιος πρὸ τῶν θυρῶν αὐτοῦ ἐῤῥιμμένον τὸν Λάζαρον·

[00008] ὁ δὲ ἄπιστος Σαμαρείτης, πιστότερος δὲ μᾶλλον καὶ τῶν ἱερέων, τῶν οἰκείων ἐπιλαθόμενος πραγμάτων, παρεμυθήσατο τὸν ξένον, καὶ τῆς ἐπειγούσης αὐτὸν χρείας ἐπιλαθόμενος, πρὸς τὴν θεραπείαν τοῦ πεπληγότος ἠπείγετο, καὶ τὸν νόμον οὐκ εἰδὼς, ἐπλήρωσε, πάντα πεποιηκὼς τὰ τοῦ νόμου.

[00009] Ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ἐργάζωνται, οὗτοι νόμον μὴ ἔχοντες, ἑαυτοῖς εἰσι νόμος·

[00010] οἵτινες ἐνδείκνυνται τὸ ἔργον τοῦ νόμου γραπτὸν ἐν ταῖς καρδίαις αὐτῶν, συμμαρτυρούσης αὐτῶν τῆς συνειδήσεως, καὶ μεταξὺ ἀλλήλων τῶν λογισμῶν κατηγορούντων.

[00011] Τί οὖν ὁ εὐαγγελιστής φησιν;

[00012] Ἄνθρωπός τις κατέβαινεν ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχὼ, καὶ λησταῖς περιέπεσεν, οἳ καὶ ἐκδύσαντες αὐτὸν, καὶ πληγὰς ἐπιθέντες, ἀπῆλθον, ἀφέντες ἡμιθανῆ τυγχάνοντα.

[00013] Κατὰ συγκυρίαν δὲ ἱερεύς τις κατέβαινεν ἐν τῇ ὁδῷ ἐκείνῃ, καὶ ἰδὼν αὐτὸν, ἀντιπαρῆλθεν.

[00014] Ὁμοίως δὲ καὶ Λευίτης γενόμενος κατὰ τὸν τόπον, ἐλθὼν καὶ ἰδὼν, ἀντιπαρῆλθε.

[00015] Σαμαρείτης δέ τις ὁδεύων, ἦλθε κατ' αὐτὸν, καὶ ἰδὼν αὐτὸν, ἐσπλαγχνίσθη, καὶ προσελθὼν κατέδησε τὰ τραύματα αὐτοῦ, ἐπιχέων ἔλαιον καὶ οἶνον.

[00016] Ἐπιβιβάσας δὲ αὐτὸν ἐπὶ τὸ ἴδιον κτῆνος, ἤγαγεν εἰς πανδοχεῖον, καὶ ἐπεμελήθη αὐτοῦ.

[00017] Καὶ ἐπὶ τὴν αὔριον ἐξελθὼν, ἐκβαλὼν δύο δηνάρια, ἔδωκε τῷ πανδοχεῖ, καὶ εἶπεν αὐτῷ·

[00018] Ἐπιμελήθητι αὐτοῦ, καὶ ὅ τι ἂν προσδαπανήσῃς, ἐγὼ ἐν τῷ ἐπανέρχεσθαί με ἀποδώσω σοι.

[00019] Μάθωμεν οὖν τίς ἐστιν ἡ Ἱερουσαλὴμ, καὶ τίς ἡ Ἱεριχὼ, καὶ τίνες οἱ λησταὶ οἷς περιέπεσε, καὶ τί τὸ ἔνδυμα ὃ ἀπέδυσαν αὐτὸν, καὶ τίνες αἱ πληγαὶ ἃς ἐπέθηκαν τῷ ἀνθρώπῳ, καὶ διὰ τί ἀπῆλθον ἀφέντες ἡμιθανῆ τυγχάνοντα, καὶ τίς ὁ ἱερεὺς, καὶ τίς ὁ Λευίτης, καὶ τίς ὁ Σαμαρείτης, καὶ τί τὸ ἔλαιον, καὶ τίς ὁ οἶνος, καὶ τίνες οἱ ἐπίδεσμοι, καὶ τί τὸ κτῆνος, καὶ τί τὸ πανδοχεῖον, καὶ τίς ὁ πανδοχεὺς, καὶ τί τὰ δύο δηνάρια, καὶ τί τὸ προσανάλωμα ὃ προσεπηγγείλατο προσαποδοῦναι, καὶ τίς ἡ ἐπάνοδος τοῦ Σαμαρείτου.

[00020] Τίς οὖν ὁ ἄνθρωπος ὁ καταβαίνων ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχώ;

[00021] Ἡ Ἱερουσαλὴμ [61.756] ἐστιν ὁ παράδεισος, ἡ Ἱεριχὼ, ὁ κόσμος οὗτος·

[00022] ἄνθρωπος δὲ ὁ καταβαίνων ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχὼ, ὁ πρωτόπλαστός ἐστιν Ἀδάμ·

[00023] ἐκπεσὼν γὰρ ἐκ τοῦ παραδείσου κατῆλθεν εἰς Ἱεριχώ·

[00024] τουτέστιν, εἰς τὸν κόσμον τοῦτον.

[00025] Καὶ ἐλθὼν λησταῖς περιέπεσε·

[00026] τουτέστι, τοῖς πονηροῖς δαίμοσι τοῖς φονικωτάτοις·

[00027] οἳ καὶ ἐκδύσαντες αὐτὸν τὸ ἔνδυμα τῆς ἀθανασίας, ὃ πρὸ τῆς ἁμαρτίας ἐφόρει, ἐνέδυσαν αὐτὸν φύλλα συκῆς.

[00028] Διὰ τί φύλλα συκῆς;

[00029] Ὅτι τραχέα εἰσὶ καὶ πικρά.

[00030] Ἐπειδὴ δὲ μετὰ τὴν ἁμαρτίαν τραχύτης προσεγένετο αὐτῷ πραγμάτων καὶ πικρία πολλὴ, διὰ τοῦτο ἐνεδύσατο φύλλα συκῆς.

[00031] Καὶ πληγὰς ἐπιθέντες, τουτέστι,

[00032] Επιτρέπετα

[00033] τὰς βιωτικὰς ὀδύνας.

[00034] Τὸ, Ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου, καὶ, Ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι ἡ γῆ, καὶ, Ἐν λύπαις τέξῃ τέκνα·

[00035] αὗται αἱ πληγαὶ τῆς ψυχῆς.

[00036] Καὶ ἀπῆλθον ἀφέντες αὐτὸν ἡμιθανῆ τυγχάνοντα.

[00037] Οὔτε γὰρ ἐν ζῶσιν ἦν παραβὰς τὴν ἐντολὴν τοῦ Θεοῦ ὁ Ἀδὰμ, οὐδὲ τελείως ἐνεκρώθη, τῷ μὴ τελείως ἀρνήσασθαι τὸν Θεόν.

[00038] Κατὰ συγκυρίαν δὲ ἱερεύς τις κατέβαινεν ἐν τῇ ὁδῷ ἐκείνῃ.

[00039] Καὶ οὐκ εἶπε, Κατὰ συντυχίαν, ἀλλὰ, Κατὰ συγκυρίαν·

[00040] Κατὰ συντυχίαν γάρ ἐστιν, ἀπροόπτως καὶ ἀπροσδοκήτως, ὅταν ἐξ αὐτομάτου τις παραγένηται·

[00041] κατὰ συγκυρίαν δέ ἐστιν, ὅταν τις κατὰ πρόνοιαν Θεοῦ τι ποιήσῃ.

[00042] Ἐνταῦθα οὖν κατὰ πρόνοιαν Θεοῦ κατέβαινεν ὁ ἱερεὺς ἐν τῇ ὁδῷ ἐκείνῃ, Καὶ ἰδὼν αὐτὸν ἀντιπαρῆλθεν.

[00043] Ὁμοίως δὲ καὶ Λευίτης.

[00044] Τίς ὁ ἱερεὺς, καὶ τίς ὁ Λευίτης;

[00045] Ἱερεὺς μὲν ἔστιν ὁ Μωσαϊκὸς νόμος, Λευίτης δὲ ὁ προφητικὸς λόγος.

[00046] Οὗτοι μὲν οὖν κατὰ πρόνοιαν μὲν Θεοῦ ἦλθον ἐπὶ τῇ θεραπείᾳ τοῦ τετραυματισμένου ὑπὸ τῶν λῃστῶν·

[00047] μὴ δυνηθέντες δὲ θεραπεῦσαι αὐτὸν, ἀντιπαρῆλθον.

[00048] Τούτων οὖν μὴ ἰσχυσάντων ἀναστῆσαι τὸν κείμενον, ἔρχεται Σαμαρείτης, ὅς ἐστιν ὁ Δεσπότης Χριστὸς, ὁ φύλαξ τῶν ἡμετέρων ψυχῶν·

[00049] Σαμαρείτης γὰρ ἑρμηνεύεται φύλαξ.

[00050] Διὰ τοῦτο οὖν εἶπε·

[00051] Σαμαρείτης δέ τις ὁδεύων ἦλθε.

[00052] Καὶ οὐκ εἶπεν, ὅτι Ἦλθε πρὸς αὐτὸν, ἀλλ', Ἦλθε κατ' αὐτὸν, τουτέστι, σαρκοφορήσας κατ' αὐτὸν, πάθει σωματικῷ ὑποκείμενος κατ' αὐτὸν ἀναμαρτήτως.

[00053] Καὶ ἰδὼν αὐτὸν, ἐσπλαγχνίσθη ἐπ' αὐτῷ, καὶ προσελθὼν κατέδησε τὰ τραύματα αὐτοῦ, ἐπιχέων ἔλαιον καὶ οἶνον.

[00054] Τίνες οἱ ἐπίδεσμοι, καὶ τί τὸ ἔλαιον, καὶ τίς ὁ οἶνος;

[00055] Ἐπίδεσμοί εἰσιν αἱ παραγγελίαι τοῦ Χριστοῦ, τὸ ἔλαιον, τὸ χρίσμα τὸ ἅγιον, οἶνος δὲ τὸ μυστήριον τῆς πίστεως.

[00056] Διὰ τῶν τριῶν τούτων τὰ ψυχικὰ ἡμῶν θεραπεύεται τραύματα.

[00057] Ἴσασιν οἱ μεμυημένοι τὰ λεγόμενα.

[00058] Ἐπιβιβάσας δὲ αὐτὸν ἐπὶ τὸ ἴδιον κτῆνος, ἤγαγεν εἰς πανδοχεῖον.

[00059] Ἴδιον κτῆνος λέγει τὸ σῶμα ὁ Χριστὸς, ὃ ὑπὲρ ἡμῶν ἀνέλαβεν ἐκ τῆς ἀχράντου παρθένου.

[00060] Ἀνεβίβασεν οὖν ἐπὶ τὸ ἴδιον κτῆνος τὸν τετραυματισμένον ὑπὸ τῶν λῃ [61.757] στῶν·

[00061] ἐπειδὴ, κατὰ τὸν προφήτην Ἡσαΐαν, Αὐτὸς τὰς ἀσθενείας ἡμῶν ἀνέλαβε, καὶ τὰς νόσους ἐβάστασε.

[00062] Καὶ ἤγαγεν εἰς πανδοχεῖον, τουτέστιν, εἰς τὴν ἁγίαν Ἐκκλησίαν, καὶ ἐπεμελήθη αὐτοῦ, τὸ πρότερον αὐτὸς δι' ἑαυτοῦ.

[00063] Ἐπὶ τὴν αὔριον δὲ ἐξελθὼν, τουτέστι, μετὰ τὴν ἁγίαν ἀνάστασιν, ἐκβαλὼν δύο δηνάρια, δέδωκε τῷ πανδοχεῖ.

[00064] Τίς ἐστιν ὁ πανδοχεὺς, καὶ τί τὰ δύο δηνάρια;

[00065] Ὁ πανδοχεὺς Παῦλος ὁ ἀπόστολός ἐστιν, ὁ προβληθεὶς τῇ ἐξ ἐθνῶν Ἐκκλησίᾳ·

[00066] πανδοχεὺς δὲ ἐκλήθη διὰ τὸ πάντας δέχεσθαι, καὶ πάντας ἕλκειν εἰς σωτηρίαν.

[00067] Ἐκβαλὼν δύο δηνάρια ὁ Χριστὸς μετὰ τὴν ἀνάστασιν, τήν τε Παλαιὰν καὶ Καινὴν Διαθήκην, ἔδωκε τῷ πανδοχεῖ, εἰπὼν αὐτῷ·

[00068] Ἐπιμελήθητι αὐτοῦ·

[00069] σοὶ, φησὶ, παραδίδωμι τὸν ἐξ ἐθνῶν λαὸν, τὸν τετραυματισμένον ὑπὸ τῶν ληστῶν φονικωτάτων·

[00070] μόνον ἐπιμελήθητι αὐτοῦ·

[00071] καὶ ὃ δ' ἂν προσδαπανήσῃς, ἐγὼ ἐν τῷ ἐπανέρχεσθαί με ἀποδώσω σοι.

[00072] Τί οὖν προσ [61.758] εδαπάνησε Παῦλος τοῖς δηναρίοις;

[00073] Τὰς δέκα τέσσαρας ἐπιστολὰς, ἃς διεπέμψατο τοῖς ἔθνεσι.

[00074] Τί ἐστι τὸ, Ἐγὼ ἐν τῷ ἐπανέρχεσθαί με ἀποδώσω σοι;

[00075] Ἐν τῇ δευτέρᾳ μου παρουσίᾳ, ὅταν ἔρχωμαι κρῖναι ζῶντας καὶ νεκροὺς, ἐγὼ ἐν τῷ ἐπανέρχεσθαί με, ἀποδώσω σοι ἃ προσεδαπάνησας·

[00076] καθὼς καὶ αὐτὸς ὁ Παῦλος λέγει·

[00077] Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα·

[00078] λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, ὃν ἀποδώσει μοι ὁ Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὁ δίκαιος κριτής·

[00079] οὐ μόνον δὲ ἐμοὶ, ἀλλὰ πᾶσι τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ.

[00080] Τοῦ τοιούτου οὖν, ἀδελφοὶ, στεφάνου γένοιτο καὶ ἡμᾶς ἐπιτυχεῖν πάντας, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ σὺν τῷ ἁγίῳ Πνεύματι δόξα καὶ κράτος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

[00081] Ἀμήν.

[00082] Επιτρέπετα

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**

**0345-0407 - Iohannes Chrysostomus - In illud Homo quidam descendebat**

**Litterarum Omnium Conspectus: 111 Litterae, quae repetitae sunt in 5,378 occasionibus**

---

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 449 | Α | 0913 | 1 |
| β | 0946 | 31 | Β | 0914 | 0 |
| γ | 0947 | 68 | Γ | 0915 | 0 |
| δ | 0948 | 123 | Δ | 0916 | 0 |
| ε | 0949 | 288 | Ε | 0917 | 4 |
| ζ | 0950 | 4 | Ζ | 0918 | 0 |
| η | 0951 | 68 | Η | 0919 | 1 |
| θ | 0952 | 76 | Θ | 0920 | 5 |
| ι | 0953 | 209 | Ι | 0921 | 1 |
| κ | 0954 | 171 | Κ | 0922 | 17 |

| | | | | | |
|---|---|---|---|---|---|
| λ | 0955 | 125 | Λ | 0923 | 8 |
| μ | 0956 | 132 | Μ | 0924 | 2 |
| ν | 0957 | 468 | Ν | 0925 | 0 |
| ξ | 0958 | 11 | Ξ | 0926 | 0 |
| ο | 0959 | 311 | Ο | 0927 | 4 |
| π | 0960 | 190 | Π | 0928 | 6 |
| ρ | 0961 | 186 | Ρ | 0929 | 0 |
| ς | 0962 | 219 | • | 0930 | 0 |
| σ | 0963 | 189 | Σ | 0931 | 8 |
| τ | 0964 | 459 | Τ | 0932 | 13 |
| υ | 0965 | 87 | Υ | 0933 | 0 |
| φ | 0966 | 26 | Φ | 0934 | 0 |
| χ | 0967 | 49 | Χ | 0935 | 5 |
| ψ | 0968 | 4 | Ψ | 0936 | 0 |
| ω | 0969 | 55 | Ω | 0937 | 0 |
| ῤ | 8164 | 1 | | | 0 |
| ῥ | 8165 | 1 | Ῥ | 8172 | |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 44 | έ | 8051 | 71 | ή | 8053 | 29 | ί | 8055 | 112 | ό | 8057 | 47 | ύ | 8059 | 39 | ώ | 8061 | 13 |
| ὰ | 8048 | 54 | ὲ | 8050 | 24 | ὴ | 80852 | 27 | ὶ | 8054 | 90 | ὸ | 8056 | 80 | ὺ | 8058 | 16 | ὼ | 8060 | 28 |
| ᾶ | 8118 | 4 | | | 0 | ῆ | 8134 | 31 | ῖ | 8150 | 25 | | | 0 | ῦ | 8166 | 42 | ῶ | 8182 | 31 |
| ἀ | 7936 | 46 | ἐ | 7952 | 88 | ἠ | 7968 | 3 | ἰ | 7984 | 28 | ὀ | 8000 | 2 | ὐ | 8016 | 46 | ὠ | 8032 | 0 |
| ἁ | 7937 | 5 | ἑ | 7953 | 4 | ἡ | 7969 | 15 | ἱ | 7985 | 18 | ὁ | 8001 | 40 | ὑ | 8017 | 6 | ὡ | 8033 | 2 |
| ἂ | 7938 | 2 | ἒ | 7954 | 0 | ἢ | 7970 | 0 | ἲ | 7986 | 0 | ὂ | 8002 | 0 | ὒ | 8018 | 0 | ὢ | 8034 | 0 |
| ἃ | 7939 | 4 | ἓ | 7955 | 0 | ἣ | 7971 | 0 | ἳ | 7987 | 2 | ὃ | 8003 | 6 | ὓ | 8019 | 0 | ὣ | 8035 | 0 |
| ἄ | 7940 | 4 | ἔ | 7956 | 19 | ἤ | 7972 | 3 | ἴ | 7988 | 3 | ὄ | 8004 | 0 | ὔ | 8020 | 3 | ὤ | 8036 | 0 |
| ἅ | 7941 | 1 | ἕ | 7957 | 1 | ἥ | 7973 | 0 | ἵ | 7989 | 1 | ὅ | 8005 | 6 | ὕ | 8021 | 0 | ὥ | 8037 | 0 |
| ἆ | 7942 | 0 | | | 0 | ἦ | 7974 | 4 | ἶ | 7990 | 9 | | | 0 | ὖ | 8022 | 10 | ὦ | 8038 | 0 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 0 | ἷ | 7991 | 2 | | | 0 | ὗ | 8023 | 5 | ὧ | 8039 | 0 |
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 0 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 0 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 0 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 0 | | | 0 | ᾔ | 8084 | 0 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |
| ᾅ | 8069 | 0 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 0 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 0 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 0 |
| ᾳ | 8115 | 6 | | | 0 | ῃ | 8131 | 15 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 4 |
| ᾴ | 8116 | 0 | | | 0 | ῄ | 8132 | 0 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 0 |
| ᾷ | 8119 | 0 | | | 0 | ῇ | 8135 | 8 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 19 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**
**0345-0407 - Iohannes Chrysostomus - In illud Homo quidam descendebat**
**Verborum Omnium Conspectus: 478Verba, quae repetita sunt in 3,334,717 occasionibus**

---

**ἃ** [00006] [00075]
**ἁγίαν** [00062] [00063]
**ἅγιον** [00055]
**ἁγίῳ** [00080]
**ἀγῶνα** [00077]
**Ἀδὰμ** [00037]
**Ἀδάμ** [00022]
**ἀδελφοὶ** [00080]
**ἀεὶ** [00080]
**ἀθανασίας** [00027]
**αἱ** [00019] [00035] [00055]
**αἰῶνας** [00080]
**αἰώνων** [00080]
**Ἀκάνθας** [00034]
**ἀκόπως** [00005]
**ἀλλ** [00052]
**ἀλλὰ** [00039] [00079]
**ἀλλήλων** [00010]
**ἀλλόφυλος** [00006]
**ἁμαρτίαν** [00030]
**ἁμαρτίας** [00027]
**Ἀμήν** [00081]
**ἂν** [00018] [00071]
**ἀναμαρτήτως** [00052]
**ἀνάστασιν** [00063] [00067]
**ἀναστῆσαι** [00048]
**ἀνατελεῖ** [00034]
**Ἀνεβίβασεν** [00060]
**ἀνέλαβε** [00061]
**ἀνέλαβεν** [00059]
**ἄνθρωπος** [00020] [00022]
**Ἄνθρωπός** [00002] [00012]
**ἀνθρώπῳ** [00019]
**ἀντιπαρῆλθε** [00014]
**ἀντιπαρῆλθεν** [00013] [00042]
**ἀντιπαρῆλθον** [00047]
**ἀπέδυσαν** [00019]
**ἀπέκλεισαν** [00007]
**ἀπῆλθον** [00012] [00019] [00036]
**ἄπιστος** [00008]
**ἀποδώσει** [00078]
**ἀποδώσω** [00018] [00071] [00074] [00075]
**ἀπόκειταί** [00078]
**ἀπόστολον** [00003]
**ἀπόστολός** [00065]
**ἀπροόπτως** [00040]
**ἀπροσδοκήτως** [00040]
**ἀρνήσασθαι** [00037]
**ἄρτον** [00034]
**ἃς** [00019] [00073]
**ἀσθενείας** [00061]
**αὔριον** [00017] [00063]
**αὗται** [00035]
**αὐτομάτου** [00040]
**αὐτὸν** [00008] [00012] [00013] [00015] [00015] [00016] [00019] [00027] [00027] [00036] [00042] [00047] [00052] [00052] [00052] [00052] [00053] [00058]
**Αὐτὸς** [00061]
**αὐτός** [00062] [00076]
**αὐτοῦ** [00005] [00007] [00015] [00016] [00018] [00053] [00062] [00068] [00070] [00079]
**αὐτῷ** [00017] [00030] [00053] [00067]
**αὐτῶν** [00010] [00010]
**ἀφέντες** [00012] [00019] [00036]
**ἀχράντου** [00059]

**βιωτικὰς** [00033]

βραβεῖον [00003] [00004]

γὰρ [00005] [00006] [00007] [00009] [00023] [00037] [00049]
γάρ [00040]
γένοιτο [00080]
γενόμενος [00014]
γῆ [00034]
γραπτὸν [00010]

δ [00071]
δαίμοσι [00026]
δὲ [00003] [00008] [00008] [00013] [00014] [00016] [00022] [00030] [00038] [00043] [00045] [00047] [00055] [00058] [00063] [00066] [00079]
δέ [00015] [00041] [00051]
δέδωκε [00063]
δέκα [00073]
Δεσπότης [00048]
δευτέρᾳ [00075]
δέχεσθαι [00066]
δηνάρια [00017] [00019] [00063] [00064] [00067]
δηναρίοις [00072]
δι [00062]
Διὰ [00028] [00050] [00056]
διὰ [00019] [00030] [00066]
Διαθήκην [00067]
διεπέμψατο [00073]
δίκαιος [00078]
δικαιοσύνης [00078]
δόξα [00080]
δραμόντας [00005]
δραμὼν [00005]
δρόμον [00077]
δυνηθέντες [00047]
δύο [00017] [00019] [00063] [00064] [00067]

ἑαυτοῖς [00009]
ἑαυτοῦ [00062]
ἐβάστασε [00061]
ἐγὼ [00018] [00071] [00075]
Ἐγὼ [00074]
εδαπάνησε [00072]
ἔδραμε [00004]
Ἔδραμε [00004]
ἔδωκε [00017] [00067]
ἔθνεσι [00073]
ἔθνη [00009]
ἐθνῶν [00065] [00069]
εἰδὼς [00008]
εἶπε [00039] [00050]
εἶπεν [00017] [00052]
εἰπὼν [00067]
Εἰς [00002]
εἰς [00012] [00016] [00020] [00022] [00023] [00024] [00058] [00062] [00062] [00066] [00080]
εἵς [00003]
εἰσὶ [00029]
εἰσι [00009]
εἰσιν [00055]
ἐκ [00023] [00059]
ἐκβαλὼν [00017] [00063]
Ἐκβαλὼν [00067]
ἐκδύσαντες [00012] [00027]
ἐκείνη [00013] [00038] [00042] [00078]
Ἐκκλησίᾳ [00065]
Ἐκκλησίαν [00062]
ἐκλήθη [00066]
ἐκπεσὼν [00023]
ἔλαβε [00004]
ἔλαιον [00015] [00019] [00053] [00054] [00055]
ἐλθόντας [00005]
ἐλθὼν [00014] [00025]
ἕλκειν [00066]
ἐμοὶ [00079]
ἐν [00003] [00007] [00010] [00013] [00018] [00037] [00038] [00042] [00071] [00074] [00075] [00078]
Ἐν [00034] [00034] [00075]
ἐνδείκνυνται [00010]
ἔνδυμα [00019] [00027]
ἐνέδυσαν [00027]
ἐνεδύσατο [00030]
ἐνεκρώθη [00037]
Ἐνταῦθα [00042]
ἐντολὴν [00037]
ἐξ [00040] [00065] [00069]
ἐξελθὼν [00017] [00063]
ἐπ [00053]
ἐπανέρχεσθαί [00018] [00071] [00074] [00075]
ἐπάνοδος [00019]
ἐπέθηκαν [00019]
ἐπειγούσης [00008]
ἐπειδὴ [00061]
Ἐπειδὴ [00030]
ἐπεμελήθη [00016] [00062]
ἐπὶ [00016] [00017] [00046] [00058] [00060]
Ἐπὶ [00063]
Ἐπιβιβάσας [00016] [00058]
ἐπίδεσμοι [00019] [00054]
Ἐπίδεσμοί [00055]
ἐπιθέντες [00012] [00031]
ἐπιλαθόμενος [00008] [00008]
ἐπιμελήθητι [00070]
Ἐπιμελήθητι [00018] [00068]
ἐπιστολὰς [00073]
Επιτρέπετα [00032] [00082]
ἐπιτυχεῖν [00080]
ἐπιφάνειαν [00079]
ἐπιχέων [00015] [00053]
ἐπλήρωσε [00008]
ἐποίησαν [00006]
ἐργάζωνται [00009]
ἔργον [00010]
ἑρμηνεύεται [00049]
ἐῤῥιμμένον [00007]

**ἔρχεται** [00048]
**ἔρχωμαι** [00075]
**ἐσπλαγχνίσθη** [00015] [00053]
**ἐστι** [00074]
**ἐστιν** [00019] [00021] [00022] [00040] [00041] [00048] [00064] [00065]
**ἔστιν** [00045]
**ἑτέρῳ** [00007]
**Εὐαγγελίου** [00002]
**εὐαγγελιστής** [00011]
**ἐφόρει** [00027]
**ἔχοντα** [00009]
**ἔχοντες** [00009]

**ζῶντας** [00075]
**ζῶσιν** [00037]

**ἡ** [00019] [00019] [00019] [00021] [00034]
**Ἡ** [00021]
**ἤγαγεν** [00016] [00058] [00062]
**ἠγαπηκόσι** [00079]
**ἠγώνισμαι** [00077]
**ἦλθε** [00015] [00051]
**Ἦλθε** [00052] [00052]
**ἦλθον** [00046]
**ἡμᾶς** [00080]
**ἡμέρᾳ** [00078]
**ἡμετέρων** [00048]
**ἡμιθανῆ** [00012] [00019] [00036]
**ἡμῶν** [00056] [00059] [00061] [00080]
**ἦν** [00037]
**ἠπείγετο** [00008]
**Ἡσαΐαν** [00061]
**Homo** [00001]

**θεῖον** [00003]
**Θεόν** [00037]
**Θεοῦ** [00037] [00041] [00042] [00046]
**θεραπείᾳ** [00046]
**θεραπείαν** [00008]
**θεραπεύεται** [00056]
**θεραπεῦσαι** [00047]
**θυρῶν** [00007]

**ἴδιον** [00016] [00058] [00060]
**Ἴδιον** [00059]
**ἰδόντες** [00007]
**ἱδρῶτι** [00034]
**ἰδὼν** [00013] [00014] [00015] [00042] [00053]
**ἱερεὺς** [00004] [00019] [00042] [00044]
**ἱερεύς** [00013] [00038]
**Ἱερεὺς** [00045]
**ἱερέων** [00008]
**Ἱεριχὼ** [00012] [00019] [00021] [00022]
**Ἱεριχώ** [00020] [00023]
**Ἱερουσαλὴμ** [00012] [00019] [00020] [00022]
**Ἱερουσαλήμ** [00021]
**Ἰησοῦ** [00080]
**Ἴσασιν** [00057]
**ἰσχυσάντων** [00048]
**In** [00001]

**καθὼς** [00076]
**Καινὴν** [00067]
**καλὸν** [00077]
**καμμύσαντες** [00007]
**καρδίαις** [00010]
**κατ** [00015] [00052] [00052] [00052]
**καταβαίνων** [00020] [00022]
**κατέβαινε** [00002]
**κατέβαινεν** [00012] [00013] [00038] [00042]
**κατέδησε** [00015] [00053]
**κατηγορούντων** [00010]
**κατῆλθεν** [00023]
**κατώρθωσεν** [00006]
**κείμενον** [00007] [00048]
**κινδυνεύουσαν** [00007]
**κόσμον** [00024]
**κόσμος** [00021]
**κράτος** [00080]
**κρῖναι** [00075]
**κριτής** [00078]
**κτῆνος** [00016] [00019] [00058] [00059] [00060]
**Κύριος** [00078]
**Κυρίου** [00080]

**Λάζαρον** [00007]
**λαμβάνει** [00003]
**λαὸν** [00069]
**λέγει** [00059] [00076]
**λεγόμενα** [00057]
**λέγουσαν** [00002]
**Λευίτης** [00004] [00014] [00019] [00043] [00044] [00045]
**λῃ** [00060]
**λῃσταὶ** [00019]
**λῃσταῖς** [00002] [00012] [00025]
**λῃστῶν** [00046] [00069]
**λογισμῶν** [00010]
**λόγος** [00045]
**λοιπὸν** [00078]
**Λουκᾶν** [00002]
**λύπαις** [00034]

**Μάθωμεν** [00019]

**μᾶλλον** [00008]
**με** [00018] [00071] [00074] [00075]
**μεθ** [00080]
**μεμυημένοι** [00057]
**μὲν** [00003] [00007] [00045] [00046] [00046]
**μεταξὺ** [00010]
**μοι** [00078] [00078]
**μόνον** [00070] [00079]
**μόνος** [00004]
**μου** [00075]
**μυστήριον** [00055]
**Μωσαϊκὸς** [00045]

**νεκρὰν** [00007]
**νεκροὺς** [00075]
**νομομαθεῖς** [00006]
**νόμον** [00008] [00009] [00009]
**νόμος** [00009] [00045]
**νόμου** [00008] [00009] [00010]
**νόσους** [00061]
**νῦν** [00080]

**ξένον** [00008]

**ὁ** [00004] [00004] [00006] [00007] [00008] [00011] [00019] [00019] [00019] [00019] [00019] [00020] [00020] [00021] [00021] [00022] [00022] [00037] [00042] [00044] [00044] [00045] [00045] [00048] [00048] [00054] [00059] [00064] [00065] [00065] [00067] [00076] [00078] [00078] [00078]
**ὃ** [00019] [00019] [00027] [00059] [00071]
**ὅ** [00018]
**Ὁ** [00065]
**ὁδεύων** [00015] [00051]
**ὀδύνας** [00033]
**ὁδῷ** [00013] [00038] [00042]
**Οἱ** [00003] [00007]
**οἱ** [00006] [00019] [00019] [00054] [00057]
**οἳ** [00012] [00027]
**οἰκείαν** [00007]
**οἰκείων** [00008]
**οἶνον** [00015] [00053]
**οἶνος** [00019] [00054] [00055]
**οἷς** [00019]
**οἵτινες** [00010]
**Ὁμοίως** [00014] [00043]
**ὃν** [00078]
**Ὄντως** [00003]
**ὅς** [00048]
**ὅταν** [00040] [00041] [00075]
**Ὅταν** [00009]
**ὅτι** [00052]
**Ὅτι** [00029]
**οὐ** [00079]
**οὐ** [00080]
**οὐδὲ** [00037]
**οὐκ** [00006] [00008] [00039] [00052]
**οὖν** [00011] [00019] [00020] [00042] [00046] [00048] [00050] [00060] [00072] [00080]
**Οὔτε** [00037]
**Οὗτοι** [00046]
**οὗτοι** [00009]
**οὗτος** [00021]
**ὀφθαλμοὺς** [00007]

**πάθει** [00052]
**Παλαιὰν** [00067]
**πανδοχεῖ** [00017] [00063] [00067]
**πανδοχεῖον** [00016] [00019] [00058] [00062]
**πανδοχεὺς** [00019] [00064] [00065] [00066]
**πάντα** [00008]
**πάντας** [00066] [00066] [00080]
**πάντες** [00003]
**παραβὰς** [00037]
**παραβολὴν** [00002]
**παραγγελίαι** [00055]
**παραγένηται** [00040]
**παράδεισος** [00021]
**παραδείσου** [00023]
**παραδίδωμι** [00069]
**παρεμυθήσατο** [00008]
**παρεπήδησεν** [00005]
**παρθένου** [00059]
**παρουσίᾳ** [00075]
**πᾶσι** [00079]
**Πατρὶ** [00080]
**Παῦλος** [00065] [00072] [00076]
**πεπληγότος** [00008]
**πεποιηκὼς** [00008]
**περιέπεσε** [00019] [00025]
**περιέπεσεν** [00002] [00012]
**πικρά** [00029]
**πικρία** [00030]
**πίστεως** [00055]
**πίστιν** [00077]
**πιστότερος** [00008]
**πληγαὶ** [00019] [00035]
**πληγὰς** [00012] [00031]
**πλούσιος** [00007]
**Πνεύματι** [00080]
**ποιήσῃ** [00041]
**πολλὴ** [00030]
**πονηροῖς** [00026]
**ποτε** [00007]
**πραγμάτων** [00008] [00030]
**πρὸ** [00005] [00007] [00027]
**προβληθεὶς** [00065]
**πρόνοιαν** [00041] [00042] [00046]
**πρὸς** [00008] [00052]
**προσ** [00072]
**προσανάλωμα** [00019]
**προσαποδοῦναι** [00019]
**προσδαπανήσῃς** [00018] [00071]

**προσεγένετο** [00030]
**προσεδαπάνησας** [00075]
**προσελθὼν** [00015] [00053]
**προσεπηγγείλατο** [00019]
**προσώπου** [00034]
**πρότερον** [00062]
**προφήτην** [00061]
**προφητικὸς** [00045]
**πρωτόπλαστός** [00022]

**Σαμαρείτης** [00004] [00008] [00015] [00019] [00048] [00049] [00051]
**Σαμαρείτου** [00019]
**σαρκοφορήσας** [00052]
**σήμερον** [00004]
**σοὶ** [00069]
**σοι** [00018] [00034] [00071] [00074] [00075]
**σου** [00034] [00034]
**σπλάγχνα** [00007]
**σταδίῳ** [00003]
**στέφανος** [00078]
**στεφάνου** [00080]
**στήλην** [00007]
**στῶν** [00060]
**συγκυρίαν** [00013] [00038] [00039] [00041]
**συκῆς** [00027] [00028] [00030]
**συμμαρτυρούσης** [00010]
**συμπαθείας** [00007]
**σὺν** [00080]
**συνειδήσεως** [00010]
**συντυχίαν** [00039] [00040]
**σῶμα** [00059]
**σωματικῷ** [00052]
**σωτηρίαν** [00066]

**τὰ** [00007] [00008] [00009] [00009] [00015] [00019] [00053] [00056] [00057] [00064]
**ταῖς** [00010]
**Τὰς** [00073]
**τὰς** [00033] [00061] [00061]
**ταῦτα** [00006]
**τε** [00067]
**τέκνα** [00034]
**τελείως** [00037] [00037]
**τέξῃ** [00034]
**τέσσαρας** [00073]
**τετέλεκα** [00077]
**τετήρηκα** [00077]
**τετραυματισμένον** [00060] [00069]
**τετραυματισμένου** [00046]
**τῇ** [00013] [00038] [00042] [00046] [00065] [00075] [00078]
**τὴν** [00002] [00007] [00008] [00017] [00030] [00037] [00062] [00063] [00063] [00067] [00077] [00079]
**τήν** [00067]
**τῆς** [00007] [00008] [00010] [00027] [00027] [00035] [00055] [00059] [00078]
**Τί** [00011] [00072] [00074]
**τί** [00019] [00019] [00019] [00019] [00019] [00019] [00019] [00028] [00054] [00064]
**τι** [00018] [00041]
**Τίνες** [00054]
**τίνες** [00019] [00019] [00019]
**Τίς** [00020] [00044] [00064]
**τίς** [00019] [00019] [00019] [00019] [00019] [00019] [00019] [00019] [00044] [00054]
**τις** [00002] [00012] [00013] [00015] [00038] [00040] [00041] [00051]
**Τὸ** [00034]
**τὸ** [00003] [00004] [00010] [00016] [00019] [00019] [00019] [00019] [00019] [00027] [00054] [00055] [00055] [00055] [00055] [00058] [00059] [00060] [00062] [00066] [00074]
**τοιούτου** [00080]
**τοῖς** [00026] [00026] [00072] [00073] [00079]
**Τὸν** [00077]
**τὸν** [00003] [00007] [00007] [00008] [00008] [00014] [00024] [00034] [00037] [00048] [00060] [00061] [00069] [00069] [00077] [00077]
**τόπον** [00014]
**Τοῦ** [00080]
**τοῦ** [00002] [00008] [00008] [00009] [00010] [00019] [00023] [00034] [00037] [00046] [00055] [00080]
**Τοὺς** [00005]
**τοὺς** [00007] [00080]
**τουτέστι** [00026] [00031] [00052] [00063]
**τουτέστιν** [00024] [00062]
**τοῦτο** [00030] [00050]
**τοῦτον** [00024]
**Τούτων** [00048]
**τούτων** [00056]
**τραύματα** [00015] [00053] [00056]
**τραχέα** [00029]
**τραχύτης** [00030]
**τρέχοντες** [00003]
**τρέχουσιν** [00003]
**τριβόλους** [00034]
**τριῶν** [00056]
**τυγχάνοντα** [00012] [00019] [00036]
**τῷ** [00017] [00018] [00019] [00037] [00063] [00067] [00071] [00074] [00075] [00080] [00080]
**τῶν** [00007] [00008] [00008] [00010] [00046] [00048] [00056] [00060] [00069] [00080]

**ὑπὲρ** [00059]
**ὑπερέβησαν** [00007]
**ὑπὸ** [00046] [00060] [00069]
**ὑποκείμενος** [00052]

**φαγῇ** [00034]
**φησὶ** [00069]
**φησιν** [00011]
**φιλανθρωπίᾳ** [00080]
**φονικωτάτοις** [00026]
**φονικωτάτων** [00069]
**φύλαξ** [00048] [00049]
**φύλλα** [00027] [00028] [00030]
**φύσει** [00009]
**φύσιν** [00007]

**χάριτι** [00080]
**χρείας** [00008]
**χρίσμα** [00055]

**Χριστὸς** [00048] [00059] [00067]
**Χριστοῦ** [00055] [00080]

**ψυχῆς** [00035]
**ψυχικὰ** [00056]
**ψυχῶν** [00048]

**ώς** [00007] [00007]